| **II – LA TRANSFIGURACIÓN Lc 9** | Códice Beza |
|---|---|
| 28 Ἐγένετο δὲ<br>μετὰ τοὺς λόγους τούτους<br>ὡσεὶ ἡμέραι ὀκτὼ<br>καὶ παραλαβὼν<br>Πέτρον καὶ *Ἰάκωβον καὶ Ἰωάνην*<br>ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι. | 28 Sucedió que,<br>después de este discurso,<br>pasados ocho días<br>y llevando consigo<br>Pedro, Santiago y Juan,<br>subió al monte a orar. |
| 29 καὶ ἐγένετο<br>ἐν τῷ προσεύχεσθαι αὐτὸν<br>**ἡ ἰδέα** τοῦ προσώπου αὐτοῦ<br>**ἠλλοιώθη** καὶ ὁ ἱματισμὸς αὐτοῦ<br>λευκὸς ἐξαστράπτων. | 29 Sucedió que,<br>mientras oraba,<br>el aspecto de su rostro<br>cambió y su vestido<br>refulgía de blanco. |
| 30 καὶ ἰδοὺ ἄνδρες δύο<br>συνελάλουν αὐτῷ<br>**ἦν** δὲ Μωϋσῆς<br>καὶ Ἠλίας, | 30 En esto, se presentaron dos hombres<br>que conversaban con él.<br>(Era Moisés,<br>y Elías, |
| 31 ὀφθέντες ἐν δόξῃ<br>ἔλεγον δὲ τὴν ἔξοδον αὐτοῦ,<br>ἣν **μέλλει** πληροῦν **εἰς** Ἰερουσαλήμ. | 31 que se habían aparecido resplandecientes.)<br>Hablaban de su éxodo,<br>que iba a completar en Jerusalén. |
| 32 ὁ δὲ Πέτρος<br>καὶ οἱ σὺν αὐτῷ<br>ἦσαν βεβαρημένοι ὕπνῳ<br>διαγρηγορήσαντες δὲ<br>εἶδον τὴν δόξαν αὐτοῦ<br>καὶ τοὺς δύο ἄνδρας<br>τοὺς συνεστῶτας αὐτῷ. | 32 Pero Pedro,<br>y sus compañeros<br>estaban amodorrados por el sueño.<br>Cuando se hubieron espabilado,<br>vieron su gloria<br>y a los dos hombres<br>que estaban con él. |
| 33 καὶ ἐγένετο<br>ἐν τῷ **διαχωρισθῆναι** αὐτοὺς ἀπ' αὐτοῦ<br>εἶπεν ὁ Πέτρος **τῷ Ἰησοῦ**· Ἐπιστάτα,<br>καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι,<br>θέλεις **ποιήσω** ὧδε<br>*τρεῖς σκηνάς*,<br>μίαν σοὶ<br>καὶ μίαν Μωϋσεῖ<br>καὶ μίαν Ἠλίᾳ.<br>μὴ εἰδὼς **ἃ** λέγει. | 33 Sucedió que,<br>mientras éstos se alejaban de él,<br>dijo Pedro a Jesús: «Jefe,<br>¡viene muy bien que estemos aquí<br>Si quieres, haré aquí / nosotros!<br>Tres chozas:<br>una para tí,<br>otra para Moisés<br>y otra para Elías»,<br>sin saber lo que decía. |
| 34 ταῦτα δὲ αὐτοῦ λέγοντος<br>ἐγένετο νεφέλη<br>καὶ **ἐπεσκίασεν** αὐτούς·<br>ἐφοβήθησαν δὲ ἐν τῷ ***ἐκείνους***<br>*εἰσελθεῖν* εἰς τὴν νεφέλην. | 34 Mientras hablaba<br>se formó una nube<br>y los fue cubriendo con su sombra.<br>Pero se asustaron, cuando aquellos<br>entraron en la nube. |
| 35 καὶ φωνὴ **ἦλθεν** ἐκ τῆς νεφέλης<br>λέγουσα· Οὗτός ἐστιν ὁ υἱός μου<br>ὁ **ἀγαπητός**, ἐν ᾧ ηὐδόκησα,<br>*ἀκούετε αὐτοῦ.* | 35 Una voz salió de la nube<br>que decía: «Este es mi Hijo,<br>el Amado, en quien me he complacido,<br>¡escuchadlo a él!» |
| 36 καὶ ἐν τῷ γενέσθαι τὴν φωνὴν<br>εὑρέθη Ἰησοῦς μόνος.<br>αὐτοὶ **δὲ** ἐσίγησαν<br>καὶ οὐδενὶ ἀπήγγειλαν<br>ἐν ἐκείναις ταῖς ἡμέραις<br>ὧν **ἐθέασαν**. | 36 Cuando se hubo escuchado la voz,<br>Jesús estaba solo.<br>Pero ellos callaron<br>y no contaron a nadie,<br>en aquellos días,<br>nada de lo que habían visto. |